κῶς. Ἐμοὶ κοινῶς, ἐμὶν δὲ Δωρικῶς. Ἐμὲ, ϗ με. Νῶϊ, ϗ νὼ, ϗ Δωρικῶς ἄμε, ϗ ἄμμε Αἰολικῶς. νῶϊν, καὶ νῷν. Ἡμεῖς κοινῶς, ϗ ἡμέες Ἰωνικῶς, ϗ ἄμες Δωρικῶς, ϗ ἄμμες Αἰολικῶς. Ἡμῶν κοινῶς, ϗ μέων Ἰωνικῶς, ϗ ἡμείων. ϗ Δωρικῶς ἁμῶν. ϗ ἀμμέων Αἰολικῶς. Ἡμῖν κοινῶς, ϗ ἥμιν παρὰ Ποιηταῖς ὀξυτόνως, ὅτε ϗ τὸ ι βραχύ ἐστι. ἀμῖν δὲ Δωρικῶς, ϗ ἄμμιν Αἰολικῶς. Ἡμᾶς κοινῶς, ϗ ἡμέας Ἰωνικῶς, καὶ ἁμᾶς Δωρικῶς, ϗ ἄμμας Αἰολικῶς.

Τοῦ Δευτέρου Προσώπου.

§. υνβ΄. Σὺ κοινῶς, ϗ Δωρικῶς τὺ, ϗ τύνη. Σοῦ κοινῶς, ϗ Ἰωνικῶς σέο, ϗ σεῖο. ϗ Ἀττικῶς σέοθεν ϗ σέθεν. Δωρικῶς δὲ, ϗ Αἰολικῶς σεῦ, ϗ τεῦ. Σοὶ κοινῶς, ϗ Δωρικῶς τοὶ, ϗ τὶν, ϗ τεΐν. Σὲ κοινῶς, ϗ Δωρικῶς τὲ, ϗ τύ. Σφῶϊ, ϗ σφὼ, ϗ Δωρικῶς ὔμε, ϗ Αἰολικῶς ὔμμε. Σφῶϊν, ϗ σφῷν. Ὑμεῖς κοινῶς, ϗ ὔμες Δωρικῶς, ϗ ὔμμες Αἰολικῶς. Ὑμῶν κοινῶς, Ἰωνικῶς ὑμέων, ϗ ὑμείων. ϗ Αἰολικῶς ὐμμέων. Ὑμῖν, ϗ ὔμιν ὀξυτόνως παρὰ τοῖς τραγικοῖς Ποιηταῖς, βραχὺ τὸ ι λαμβάνουσι. ϗ ὔμιν Δωρικῶς. Αἰολικῶς δὲ ὔμμι, ϗ ὔμμιν. ὑμᾶς κοινῶς, ϗ ὑμέας Ἰωνικῶς. ϗ ὔμας Δωρικῶς, ϗ ὔμμας Αἰολικῶς.

Τοῦ Τρίτου Προσώπου.

§. υνγ΄. Ἡ ὀνομαστικὴ, ὃς κοινῶς, ϗ ὃ, κατὰ παλαιοὺς ἡ Γενικὴ, οὗ κοινῶς, ϗ ἕο, ϗ εἷο Ἰωνικῶς, ϗ Ἀττικῶς ἕοθεν, ϗ ἕθεν. Δωρικῶς δὲ, ϗ Αἰολικῶς εὗ. ἡ Δοτικὴ, οἷ, ϗ Ἰωνικῶς ἕοι. ἡ Αἰτιατικὴ, ἓ, ϗ ἕθεν, ϗ ἕε.